θεὸς μέγας δείκνυσι· τούτου γὰρ χάριν
νῦν μὲν βροτὸν κάλλιστα παιδεύων ὅλως
πατρὸς φιλοστόργου τε κἀγαθοῦ δίκην,
καὶ σωφρονίζων πατρικαῖς τόνδ᾽ αἰκίαις,
ἥκιστα θυμῷ τόνδ᾽ ἐλέγχει κ᾽ ἐς τέλος,
ἀλλ᾽ εὐμενείᾳ κἂν βραχεῖ πάνυ χρόνου.
νῦν δ᾽ αὖ κολάζων πλῆθος ἀμπλακημάτων
κρίσει δικαίᾳ, τῷ φιλανθρώπῳ δ᾽ ὅμως
τήνδε ξυνάπτων μακροθυμίᾳ τ᾽ ἄκρᾳ,
ἁμαρτάνοντος τὴν ἐπιστροφὴν πλέον,
ἤπερ μόρον τε καὶ φθορὰν τοῦδ᾽ ἐκλέγει·
ἄλλως δ᾽ ἑκάστου καρτερήσεως θέλων
λαβεῖν ἀδιστάκτου τε πεῖραν καρδίας,
εἰ καρτερῶν τις εὐσταθῶς τῷδ᾽ ἐμμένοι,
νεφροὺς ἐτάζει καρδίαν τε σὺν δίκῃ,
καίπερ προειδὼς τὴν ἑκάστου γ᾽ ἐς βάθος,
ὡς ἐμβατεύων τῶν βροτῶν τὰς καρδίας.
οὕτω διοικῶν τὰ βροτῶν οὖν ἱλέως
καὶ πανσόφως, ὅσονπερ ἡμᾶς εἰδέναι,
διδοῖ πρεπόντως χειρὶ πανσθενεστάτῃ
πλεῖστα βροτοῖσι δυσχερῆ τῷδ᾽ ἐν βίῳ,
φέρων ἀπειλὰς καὶ φόβητρα μυρία,
πληγάς τ᾽ ἀπείρους δυσφόροις λύπαις ἅμα,
νόσους τε δεινάς, ποικίλας δυσπραξίας,
πολλὰς πολυτρόπους τε πειρατηρίας.
ὅτῳ δὲ καρτέρησιν εὐσθενῆ βλέπει,